ἦν ἡ τῶν διαφόρων πρᾶξις· δι᾽ ἣν αἰτίαν οἱ δύο ὑπὸ τοῦ βασι-
λέως προσεκλήθησαν, 29 καὶ ὁ μὲν Μενέλαος ἀπέλιπεν τῆς ἀρχιε- 29
ρωσύνης διάδοχον Λυσίμαχον τὸν ἑαυτοῦ ἀδελφόν, Σώστρατος
δὲ Κράτητα τὸν ἐπὶ τῶν Κυπρίων.

30 Τοιούτων δὲ συνεστηκότων συνέβη Ταρσεῖς καὶ Μαλλώτας 30
στασιάζειν διὰ τὸ Ἀντιοχίδι τῇ παλλακῇ τοῦ βασιλέως ἐν δωρεᾷ
δεδόσθαι. 31 θᾶττον οὖν ὁ βασιλεὺς ἧκεν καταστεῖλαι τὰ πράγματα 31
καταλιπὼν τὸν διαδεχόμενον Ἀνδρόνικον τῶν ἐν ἀξιώματι κειμέ-
νων. 32 νομίσας δὲ ὁ Μενέλαος εἰληφέναι καιρὸν εὐφυῆ χρυσώματά 32
τινα τῶν τοῦ ἱεροῦ νοσφισάμενος ἐχαρίσατο τῷ Ἀνδρονίκῳ καὶ
ἕτερα ἐτύγχανεν πεπρακὼς εἴς τε Τύρον καὶ τὰς κύκλῳ πόλεις.
33 ἃ καὶ σαφῶς ἐπεγνωκὼς ὁ Ονιας ἀπήλεγχεν ἀποκεχωρηκὼς εἰς 33
ἄσυλον τόπον ἐπὶ Δάφνης τῆς πρὸς Ἀντιόχειαν κειμένης. 34 ὅθεν 34
ὁ Μενέλαος λαβὼν ἰδίᾳ τὸν Ἀνδρόνικον παρεκάλει χειρώσασθαι
τὸν Ονιαν· ὁ δὲ παραγενόμενος ἐπὶ τὸν Ονιαν καὶ πεισθεὶς ἐπὶ
δόλῳ καὶ δεξιασθεὶς μεθ᾽ ὅρκων δοὺς δεξιάν, καίπερ ἐν ὑποψίᾳ
κείμενος, ἔπεισεν ἐκ τοῦ ἀσύλου προελθεῖν, ὃν καὶ παραχρῆμα
παρέκλεισεν οὐκ αἰδεσθεὶς τὸ δίκαιον. 35 δι᾽ ἣν αἰτίαν οὐ μόνον 35
Ιουδαῖοι, πολλοὶ δὲ καὶ τῶν ἄλλων ἐθνῶν ἐδείναζον καὶ ἐδυσφό-
ρουν ἐπὶ τῷ τοῦ ἀνδρὸς ἀδίκῳ φόνῳ. 36 τοῦ δὲ βασιλέως ἐπανελ- 36
θόντος ἀπὸ τῶν κατὰ Κιλικίαν τόπων ἐνετύγχανον οἱ κατὰ πόλιν
Ιουδαῖοι συμμισοπονηρούντων καὶ τῶν Ἑλλήνων ὑπὲρ τοῦ παρὰ
λόγον τὸν Ονιαν ἀπεκτονῆσθαι. 37 ψυχικῶς οὖν ὁ Ἀντίοχος ἐπι- 37
λυπηθεὶς καὶ τραπεὶς ἐπὶ ἔλεος καὶ δακρύσας διὰ τὴν τοῦ μετηλ-
λαχότος σωφροσύνην καὶ πολλὴν εὐταξίαν 38 καὶ πυρωθεὶς τοῖς 38
θυμοῖς παραχρῆμα τὴν τοῦ Ἀνδρονίκου πορφύραν περιελόμενος
καὶ τοὺς χιτῶνας περιρρήξας περιαγαγὼν καθ᾽ ὅλην τὴν πόλιν ἐπ᾽
αὐτὸν τὸν τόπον, οὗπερ τὸν Ονιαν ἠσέβησεν, ἐκεῖ τὸν μιαιφόνον
ἀπεκόσμησεν τοῦ κυρίου τὴν ἀξίαν αὐτῷ κόλασιν ἀποδόντος.

39 Γενομένων δὲ πολλῶν ἱεροσυλημάτων κατὰ τὴν πόλιν ὑπὸ 39
τοῦ Λυσιμάχου μετὰ τῆς τοῦ Μενελάου γνώμης καὶ διαδοθείσης
ἔξω τῆς φήμης ἐπισυνήχθη τὸ πλῆθος ἐπὶ τὸν Λυσίμαχον χρυσω-
μάτων ἤδη πολλῶν διενηνεγμένων. 40 ἐπεγειρομένων δὲ τῶν ὄχλων 40
καὶ ταῖς ὀργαῖς διεμπιπλαμένων καθοπλίσας ὁ Λυσίμαχος πρὸς
τρισχιλίους κατήρξατο χειρῶν ἀδίκων προηγησαμένου τινὸς Αυρα-

28 υπο] επι V† || 29 αρχιερωσυνης] αρχ > V*L* || 30 fin. διδοσθαι A || 32 και ult.] + εις V† || 33 α V*L*La] > A | απηλεγχεν] παρηλ. *L*, απηνεγκεν A† | αντιοχειαν] -ας A || 34 επι τον ονιαν > V† | δεξιασθεις: sic uel δεξιας θεις? | μεθ] μετ AV*† | δεξιαν] -ας Vpau., > *L*†: cf. I 6 58 | fin. το δικαιον] τον δ. V† || 35 fin. φονου A† || 36 απεκτονησθαι V (cf. Thack. p. 274)] -νησεν A†, απεκτανθαι *L* || 37 επιλυπηθεις] υπολυπ. A†, λυπ. *L* | επι ελεος A pau.] υπ ελεους V†, εις ελεον *L* || 38 ολην την] την > V† | απεκοσμησεν] απεκτεινε(ν) *L* || 40 αυρανου] τυραννου *L*: idem add. V†